Δ 60 Παλαίπολιϲ: ὄνομα τόπου.

Ar.? 61 Πάλαι ποτ᾽ ἦϲαν ἄλκιμοι Μιλήϲιοι: ἐπὶ τῶν ποτε ἀκμαϲάντων, νῦν δὲ ἀϲθενῶν ὄντων.

Ar. 62 Παλαίϲμαϲιν: ἀντὶ τοῦ ϲτρατηγήμαϲι. καὶ Ἀριϲτοφάνηϲ· Φρυνίχου παλαίϲμαϲι. ϲτρατηγοῦντοϲ γὰρ αὐτοῦ ἡττήθηϲαν Ἀθηναῖοι καὶ πολλοὶ αὐτῷ προϲεκρούϲθηϲαν, ὡϲ προδόντι τὸν πόλεμον. τινὲϲ δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουϲιν, ὃϲ κινουμένουϲ τοὺϲ χοροὺϲ εἰϲῆγε καὶ παλαίονταϲ. ἐγένετο δὲ ϲτρατηγόϲ, ἐφ᾽ οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

Σ 63 Παλαιϲτάϲ: ϲπιθαμάϲ, ἢ ἐν πάλῃ.

Δ 64 Παλαιϲτηνόϲ: ἐκ τοῦ παλαιϲτή, παλαιϲτήϲ. Παλαιϲτῖνοϲ δέ.

Δ? 65 Παλαιϲτήϲ: ἀνταγωνιϲτήϲ. ϲοφὸϲ παλαιϲτὴϲ κεῖνοϲ· ἀλλὰ χαἰ
Soph. ϲοφαὶ γνῶμαι ἐμποδίζονται θαμά.

Δ 66 Παλαιϲτίνη: ὄνομα χώραϲ. καὶ Παλαιϲτῖνοϲ, ὁ ἀπὸ Πα-
E λαιϲτίνηϲ. πολλοῖϲ δὲ ϲταθμοῖϲ ἀφέϲτηκεν ἡ Βαβυλὼν τῆϲ Παλαιϲτίνηϲ.

Δ 67 Παλαίϲτρα: τὸ γυμνάϲιον. εὑρὼν δὲ πεδίον ὕπτιον καὶ καλὸν
E εἰϲ χρῆϲιν ἵππων καὶ φάλαγγοϲ ἐκάθαιρε καὶ διέϲκαπτε καὶ τῷ πολέμῳ παλαίϲτραϲ ἐποίει.

Δ 68 Παλαίτατοϲ: ὁ παλαιόϲ.

Hesy. 69 Παλαίφατοϲ, Ἀθήνηϲιν ἐποποιόϲ, υἱὸϲ Ἀκταίου καὶ Βοιοῦϲ, οἱ δὲ Ἰοκλέουϲ φαϲὶ καὶ Μετανείραϲ· οἱ δὲ Ἑρμοῦ. γέγονε δὲ κατὰ μέν τιναϲ μετὰ Φημονόην, κατὰ δὲ ἄλλουϲ καὶ πρὸ αὐτῆϲ. ἔγραψε δὲ Κοϲμοποιΐαν εἰϲ ἔπη ,ε΄, Ἀπόλλωνοϲ καὶ Ἀρτέμιδοϲ γονάϲ, ἔπη ,γ΄, Ἀφροδίτηϲ καὶ Ἔρωτοϲ λόγουϲ καὶ φωνὰϲ ἔπη ,ε΄, Ἀθηνᾶϲ ἔριν καὶ Ποϲειδῶνοϲ ἔπη ,α΄, Λητοῦϲ πλόκαμον.

Hesy. 70 Παλαίφατοϲ, Πάριοϲ ἢ Πριηνεύϲ, γεγονὼϲ κατὰ Ἀρταξέρξην. Ἀπίϲτων βιβλία ε΄· Τρωικῶν βιβλία ε΄· τινὲϲ δὲ ταῦτα εἰϲ τὸν Ἀθηναῖον ἀναφέρουϲι· πλὴν καὶ οὗτοϲ ἔγραψε.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413863263/14 UNIVERSITÄT LEIPZIG